# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: aaa-ab

*Εὔμηλος ὁ Κορίνθιος* · Eumelus of Corinth

## Epic Fragments

*Ἐπικὰ Ἀποσπάσματα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἐπική* Epic (Homeric) (frg)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 2.1 πλεῖσται μὲν κεφαλαί, πλεῖσται δέ τε
book 2.2 χεῖρες.
book 3.1 ἀλλ’ ὅτε δ’ Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου
book 3.2 τε καὶ Ἀντιόπης, τότε δ’ ἄνδιχα χώρην δάσσατο
book 3.3 παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός. ἣν μὲν ἔχ’ Ἀσωπός, ταύτην πόρε δίωι Ἀλωεῖ·[ln_5]ἣν δ’ Ἐφύρη κτεάτισς’, Αἰήτηι δῶκεν ἅπασαν. Αἰήτης δ’ ἄρ’ ἑκὼν Βούνωι
book 3.4 παρέδωκε
book 3.5 φυλάσσειν, εἰσόκεν αὐτὸς ἵκοιτ’ ἢ ἐξ αὐτοῖό τις ἄλλος, ἢ πάις ἢ υἱωνός· ὃ δ’ ἵκετο Κολχίδα γαῖαν.
book 8.1 〈’Ισθμοῖ’〉 εὐδαίμων
book 8.2 πιτυώδεος ὄλβιος αὐχήν, Ὠκεανοῦ κούρης Ἐφύρης 〈ἕδοσ〉, ἔνθα
book 8.3 Ποσειδῶν, μητρὸς ἐμῆς Λαμίης γενέτωρ, προὔθηκεν ἀγῶνα
book 8.4 πρῶτος ἅμ’ Ἠελίωι, τιμὰς δ’ ἠνέγκατο μοῦνος.
book 12.1 ὄφρα θεῶι δεκάτην ἀκροθίνιά τε κρεμάσαιμεν
book 12.2 σταθμῶν ἐκ ζαθέων καὶ κίονος ὑψηλοῖο.
book 16 Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἐννέα κοῦραι.
book 19.1 οἳ δ’ ἤδη κατὰ πᾶσαν ἀνασταχύεσκον ἄρουραν γηγενέες· φρίξεν δὲ περὶ στιβαροῖς
book 19.2 σακέεσσι δούρασι τ’ ἀμφιγύοις κορύθεσσί τε λαμπομένηισιν Ἄρηος τέμενος
book 19.3 φθισιμβρότου, ἵκετο δ’ αἴγλη[ln_5]νειόθεν Οὔλυμπόνδε δι’ ἠέρος ἀστράπτουσα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org